διηγήσεως ὧδε· ‘ἔτος νότιον, ἔπομβρον, ἄπνοια διὰ τέλεος’. εἶτα τούτοις ἐπιφέρει τὰ κατὰ μέρος ἁπάσης τῆς καταστάσεως, ὄμβρους πολλοὺς ἐν θερμῇ καὶ νοτίᾳ καταστάσει γενέσθαι γράφων, εἶτ’ αὖθις ἐπὶ τέλει τὸν σύμπαντα λόγον εἰς ἓν κεφάλαιον ἀγαγὼν οὕτω φησί· ‘γενομένου δὲ τοῦ ἔτεος ὅλου | νοτίου καὶ ὑγροῦ καὶ μαλακοῦ’ τάδε καὶ τάδε 532
συνέπεσεν, ἃ σύμπαντα μὲν γράφειν ἐν τῷδε τῷ λόγῳ μακρόν. ἔνεστι δὲ τῷ βουλομένῳ λαβόντι τὸ τρίτον τῶν Ἐπιδημιῶν ἀναγιγνώσκειν τὰ κατὰ μέρος εἰς ἓν ἅπαντα κεφάλαιον ἀναγόμενα, σηπεδόνα μεγίστην, ἧς καὶ αὐτῆς ὀνομαστὶ πολλάκις ὁ Ἱπποκράτης ἐπιμέμνηται, ποτὲ μὲν ὡδίπως λέγων· ‘ἦν δὲ καὶ τὸ ῥεῦμα τὸ συνιστάμενον οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη καὶ ῥεῦμα πολὺ καὶ ποικίλον’· ποτὲ δὲ πάλιν ὡδί· ‘καὶ ἐν αἰδοίοισιν ἄνθρακες οἱ κατὰ θέρος καὶ ἄλλα, ἃ σῆψις καλέεται’, καὶ ὡς ἐκ τῆς σήψεως ταύτης πολλοῖς μὲν βραχίων καὶ πῆχυς ὅλος ἀπερρύη, πολλοῖς δὲ μηρὸς ἢ τὰ περὶ κνήμην ἀπεψιλοῦτο καὶ πούς ὅλος. ἀλλὰ καὶ σαρκῶν καὶ ὀστῶν καὶ νεύρων ἐκπτώσεις ἐγίγνοντο μεγάλαι. καὶ ὅλως οὐδὲν ἔστιν εὑρεῖν ὧν ἔγραψε παθημάτων, ὃ μὴ σηπεδόνος ἔκγονον ὑπάρχει, δεόντως. οὔτε γὰρ ὑπὸ ξηροῦ τι σήπεσθαι πέφυκεν οὔθ’ ὑπὸ ψυχροῦ. μάθοις δ’ ἄν, εἰ θεάσαιο τά τε κρέα καὶ τἆλλα σύμπαντα τὰ πρὸς τῶν | ἀνθρώπων ταριχευόμενα, τὰ μὲν ἁλσί, τὰ δ’ ἅλμῃ, 533
τὰ δ’ ὄξει, τὰ δ’ ἄλλῳ τινὶ τῶν ξηραινόντων σκευαζόμενα καλῶς. μάθοις δ’ ἂν καὶ ὡς ἐν τῷ βορρᾷ, ξηρῷ καὶ ψυχρῷ

1 ἦν μὲν ἔτος L ἦν δὲ τὸ ἔτος V ἦν δ’ ἔτος M ‖ 3 καταστάσει] κράσει MV ‖ 4 ἐπὶ τέλει post ἓν colloc. O ‖ 5 συναγαγὼν V fort. ἀναγαγὼν ‖ οὕτω φησί LMV οὕτως O ‖ Hipp. Epid. III 3, 2 (III 66 L.) ‖ 6 ὅλου φησὶ O ‖ ἐννοτίου M ‖ 7 ξύμπαντα O ‖ γράφειν LM ἀναγράφειν OV ‖ 9 κεφ. ἅπαντα ἀν. L ‖ 10 αὐτὸς LV ‖ 11 ὁ Ἱππ. ὀνομαστὶ πολλ. M ‖ 12 Hipp. Epid. III 2, 4 (t. III 72 L.) ‖ 13 ποτὲ L ὁτὲ cett. ‖ 14 Hipp. Epid. III 2, 7 (t. III 84 L.) ‖ αἰδοίοις M ‖ 16 ὅλος L ὅλως cett. ‖ πολλοῖσι δὲ O ‖ 17 τὴν κνήμην MO τὴν om. LV ‖ 18 σαρκῶν κ. ὀστῶν LMV ὀ. κ. σ. O ‖ post νεύρων add. καὶ ἄρθρων MO om. LV ‖ 20 ἔκγονον LMV ἔγγονον O ‖ 21 τοῦ ξηροῦ O τοῦ om. LMV item ante ψυχροῦ ‖ 24 post σκευαζόμενα add. καλῶς O om. cett. ‖ 25 δ’ ἂν καλῶς LMV δὲ O